φώνως ἀντιλαμβανόμενοι, τῆς αἰσχρᾶς ἐκείνης ἑαυτοὺς συνηθείας, ἀπο-
σπάσωμεν ἀδελφοὶ τιμιώτατοι. ἔστι γὰρ ὡς ἀληθῶς ἀτοπώτατον ἐκεί-
νους αὐχεῖν ὡς ἄρα παρεκτὸς τῆς αὐτῶν διδασκαλίας ταῦτα φυλάττειν
οὐκ εἴημεν ἱκανοί. τί δὲ φρονεῖν ἐκεῖνοι ὀρθὸν δυνήσονται, οἳ μετὰ τὴν κυρι-
οκτονίαν ἐκείνην ἐκστάντες τῶν φρενῶν ἄγονται οὐ λογισμῷ τινι,
ἀλλ' ὁρμῇ ἀκατασχέτῳ, ὅπου ἂν αὐτοὺς ἡ ἔμφυτος αὐτῶν ἀγάγῃ μανία·
ἐκεῖθεν τοίνυν κἀν τούτῳ τῷ μέρει, τὴν ἀλήθειαν οὐχ ὁρῶσιν, ὡς ἀεὶ
κατὰ τὸ πλεῖστον αὐτοὺς πλανωμένους, ἀντὶ τῆς προσηκούσης ἐπα-
νορθώσεως, ἐν τῷ αὐτῷ ἔτει, δεύτερον τὸ πάσχα ἐπιτελεῖν. τίνος οὖν
χάριν τούτοις ἑπόμεθα, οἳ δεινὴν πλάνην νοσεῖν ὁμολογοῦνται· δεύτερόν γε
τὸ πάσχα ἐν ἑνὶ ἐνιαυτῷ, οὐκ ἄν ποτε ποιεῖν ἀνεξόμεθα. ἀλλ' εἰ καὶ ταῦτα
μὴ προὔκειτο, τὴν ὑμετέραν ἀγχίνοιαν ἐχρῆν, καὶ διὰ σπουδῆς καὶ
δι' εὐχῆς ἔχειν πάντοτε, ἐν μηδεμιᾷ ὁμοιότητι τὸ καθαρὸν τῆς ὑμετέρ-
ας ψυχῆς κοινωνεῖν δοκεῖν ἀνθρώπων ἔθεσι παγκάκων. πρὸς τούτοις κἀ-
κεῖνο πάρεστι συνορᾶν, ὡς ἐν τηλικούτῳ πράγματι καὶ τοιαύτης θρησ-
κείας ἑορτῇ διαφωνίαν ὑπάρχειν ἐστὶν ἀθεμιτώτατον. μίαν γὰρ ἡμῖν τὴν τῆς
ἡμετέρας ἐλευθερίας ἡμέραν, τουτέστι τὴν τοῦ ἁγιωτάτου πάθους, ὁ ἡ-
μέτερος παρέδωκε σωτήρ· μίαν εἶναι τὴν καθολικὴν αὐτοῦ ἐκκλησίαν βε-
βούληται· ἧς εἰ καὶ τὰ μάλιστα εἰς πολλούς τε καὶ διαφόρους τόπους τὰ μέρη
διῄρηται, ἀλλ' ὅμως ἑνὶ πνεύματι, τουτέστι τῷ θείῳ βουλήματι θάλπεται.
λογισάσθω δὲ ἡ τῆς ὑμετέρας ὁσιότητος ἀγχίνοια, ὅπως ἐστὶ δεινόν τε καὶ
ἀπρεπὲς κατὰ τὰς αὐτὰς ἡμέρας, ἄλλους μὲν ἑορταῖς καὶ ἀνέσεσιν ἐξε-
τάζεσθαι· ἄλλους δὲ ταῖς ὡρισμέναις ἐκδεδόσθαι νηστείαις. διὰ τοῦτο γοῦν
τῆς προσηκούσης ἐπανορθώσεως τυχεῖν καὶ πρὸς μίαν διατύπωσιν ἄγεσθαι
τοῦτο ἡ θεία πρόνοια βούλεται, ὡς ἔγωγε ἅπαντας ἡγοῦμαι συνορᾶν. ὅθεν
ἐπειδὴ τοῦτο οὕτως ἐπανορθοῦσθαι προσῆκεν, ὡς μηδὲν μετὰ τοῦ τῶν
πατροκτόνων τε καὶ κυριοκτόνων ἐκείνων εἶναι κοινόν. ἔστι τε τάξις εὐ-
πρεπής, ἣν ἅπασαι τῶν δυτικῶν τε καὶ μεσημβρινῶν καὶ ἀρκτῴων τῆς
οἰκουμένης μερῶν, παραφυλάττουσιν αἱ ἐκκλησίαι, καί τινες τῶν κατὰ τὴν
ἑῴαν τόπων· ὧν ἕνεκεν ἐπὶ τοῦ παρόντος καλῶς ἔχειν ἅπαντες ἡγήσαντο.
καὶ αὐτὸς δὲ τῇ ὑμετέρᾳ ἀγχινοίᾳ ἀρέσειν ὑπεσχόμην· ἵν' ὅπερ ἂν κατὰ
τὴν Ῥωμαίων πόλιν, Ἰταλίαν τε καὶ Ἀφρικὴν ἅπασαν, Αἴγυπτον, Σπανίας, Γαλλί-
ας, Βρεττανίας, Λιβύην, ὅλην Ἑλλάδα, Ἀσιανήν τε διοίκησιν καὶ Ποντικὴν